Ἀριστοτέλης κεκίνηται πρὸς τὸ τιθέναι τὰ ἡμῖν νοητὰ μὴ εἶναι ὑπάρξει τινὶ καθ' ἑαυτὰ νοητά, ἀλλ' ἐκ τῶν αἰσθητῶν γίνεσθαι· ὅθεν ἔδει τιθέναι δύναμιν τοῦτο ποιήσουσαν· καὶ αὕτη ἐστὶν ὁ ἐνεργείᾳ νοῦς. Τούτου τοίνυν χάριν ἡμῖν ὁ ἐνεργείᾳ νοῦς ὑπόκειται, ὥσθ' ἡμῖν ἀνάλογα ποιεῖν τὰ νοητά. Τοῦτο δὲ οὐχ ὑπεραίρει τὸν τρόπον τοῦ νοητοῦ φωτὸς καὶ ἡμῖν οἰκείου. Ὅθεν οὐδὲν κωλύει αὐτῷ τῷ φωτὶ τῆς ἡμετέρας ψυχῆς τὴν ἐνέργειαν ἀποδιδόναι τοῦ ἐνεργείᾳ νοῦ, μάλιστα ὅτι καὶ Ἀριστοτέλης τὸν ἐνεργείᾳ νοῦν φωτὶ παραβάλλει.

## LXXVIII. — Ὅτι Ἀριστοτέλους δόξα, τὸν ἐνεργείᾳ νοῦν οὐ χωριστὴν οὐσίαν εἶναι, ἀλλά τι τῆς ψυχῆς.

Πρῶτον μὲν γὰρ αὐτός φησιν, ὡς ἀνάγκη κἂν τῇ ψυχῇ τὸ μὲν εἶναι ὥσπερ ὕλην τὸν δυνάμει νοῦν, τὸ δὲ ὡς ποιητικὸν αἴτιον, τὸν πάντα ποιοῦντα νοῦν, ἤτοι τὰ ἐνεργείᾳ νοητά, τὸν ἐνεργείᾳ νοῦν δηλαδή· ὥστε τὸ τῆς ψυχῆς εἶναι λέγει τὸν ἐνεργείᾳ νοῦν καὶ οὐ χωριστὴν οὐσίαν, καὶ αὐτόν τε καὶ τὸν δυνάμει νοῦν τίθησι διαφορὰι εἶναι ψυχῆς καὶ ἐν αὐτῇ εἶναι.

Ἔτι, ἕξιν λέγειν τὸν ἐνεργείᾳ νοῦν ἐξηγούμενος, ὅτι ὥσπερ φῶς ἐστιν, οὔτε δὲ ἕξιν αὐτὸν νοεῖ ὥσπερ ἀποτέλεσμά τι τοῦ νοῦ τοῦ ἐνεργείᾳ, ἀλλ' αὐτὸν τὸν νοῦν ἕξιν φησίν, οὗ ἐστι πάντα ποιεῖν· οὔτε κατὰ τὸ δεύτερον τῆς ποιότητος εἶδος νοεῖ τὸν νοῦν ἕξιν εἶναι. Εἰ γὰρ καὶ λέγεταί που ἕξις εἶναι τῶν ἀρχῶν ὁ νοῦς, ἀλλ' ἡ ἕξις ἐκείνη ἐκ τῶν αἰσθήσεων εἰλημμένη ἀποτέλεσμά ἐστι τοῦ ἐνεργείᾳ νοῦ, ὃς τὰ δυνάμει νοητὰ καὶ φαντάσματα ἐνεργείᾳ ποιεῖ νοητὰ ἐνεργείᾳ· ἀλλ' ἕξιν ἐνταῦθα νοεῖ ὡς πρὸς τὴν στέρησιν καὶ τὴν δύναμιν ἀντιδιαιρεῖται, ὥσπερ ἅπαν εἶδος καὶ ἐνέργεια ἕξις δύναται λέγεσθαι. Εἶτα προστίθησιν, ὅτι οὗτος ὁ ἐνεργείᾳ νοῦς χωριστός ἐστι καὶ ἀμιγής, καὶ ἀπαθής, καὶ ἐνεργείᾳ οὐσία. Τὸ γοῦν ἀμιγὲς καὶ χωριστὸν καὶ τῷ δυνάμει νῷ ἁπλῶς ἀποδέδωκεν· τὸ δὲ ἀπαθὲς μετὰ προσδιορισμοῦ· οὐ γὰρ καὶ ἡ αἴσθησις, ἀλλ' ὡς δυνάμει ὢν πρὸς τὰ
f. 57v νοητά· | τὸ δὲ τέταρτον ἀπέφησε τοῦ δυνάμει νοῦ, καὶ ἴδιον τοῦ ἐνεργείᾳ νοῦ. Οὐ βούλεται δὲ Ἀριστοτέλης τὸν ἐνεργείᾳ νοῦν ἐντεῦθεν οὐσίαν εἶναι χωριστήν, ἀλλ' ὅτι χωριστός ἐστιν ὡς μὴ ἔχων ὀργανόν, ὃ δὲ περὶ τοῦ δυνάμει νοῦ λέγει ὁμοίως· τὸ δὲ λέγεσθαι αὐτὸν οὐσίαν ἐνεργείᾳ εἶναι οὐ μάχεται τῷ τὴν οὐσίαν τῆς ψυχῆς ἐν δυνάμει εἶναι, ὡς εἴρηται. Ἐκ πλειόνων οὖν ῥητῶν τοῦ Ἀριστοτέλους δείκνυται δόξαν αὐτοῦ γεγονέναι τὸ τὸν δυνάμει νοῦν, καθόσον ἐστὶν ἐν δυνάμει, πρότερον εἶναι τῷ χρόνῳ τοῦ ἐνεργείᾳ νοῦ· τὸν δὲ ἐνεργείᾳ νοῦν ἀξίᾳ καὶ φύσει πρότερον, ἄμφω δὲ εἶναι χωριστοὺς ὡς ἄνευ ὀργάνων ὄντας σωματικῶν, καὶ ἄμφω ἓν μέρος

---

4 *ἀνάλογα*: *ἀνάλογον* A: distraction 36 *τὸ* deux fois répété dans A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καλεῖσθαι τῆς ψυχῆς, ὅτι καὶ ἀμφοῖν νοοῦμεν ἐνεργείᾳ τῇ πρὸς τὰς ἄλλας δυνάμεις τῆς ψυχῆς παραθέσει, εἰ καὶ διῄρηται τοῦτο τὸ ἓν ταῖς εἰρημέναις πρὸς ἑαυτὸ διαφοραῖς, ἤτοι τῷ δυνάμει καὶ τῷ ἐνεργείᾳ, καὶ τῷ τὸν μὲν εἶναι δυνάμει δηλονότι τὰ νοητά, τὸν δὲ ἐνεργείᾳ εἶναι αὐτά, χωριστὸν δέ τι καὶ ἄμφω εἰσὶ τῆς ψυχῆς (εἰσὶ) μέρος, καὶ ἀΐδιον ὡς μὴ σώματος ἠρτημένον.

## LXXIX. — Ὅτι ἡ ἀνθρωπίνη ψυχὴ οὐ φθείρεται, φθειρομένου τοῦ σώματος.

Πᾶσα γὰρ νοερὰ οὐσία ἐδείχθη ἄφθαρτος εἶναι· ἡ δὲ ψυχὴ οὐσία τίς ἐστι νοερά.

Ἔτι, οὐδὲν φθείρεται ὑφ' οὗ τελειοῦται· αἱ γὰρ πρὸς τὴν τελειότητα καὶ φθορὰν μεταβολαὶ ἐναντίαι εἰσίν· τελειοῦται δὲ ἡ ψυχὴ ἐπιστήμῃ καὶ ἀρετῇ, ἀποχωροῦσά πως τοῦ σώματος ἐν τῷ τὰ ἄϋλα μᾶλλον θεωρεῖν καὶ ἐν τῷ τὰς σωματικὰς ἄγχειν ἐπιθυμίας. Οὐ δεῖ δὲ ὑπονοεῖν μήποτε ἡ ἐνέργεια χωρίζουσα τελειοῖ, ἡ δὲ κατὰ τὸ εἶναι διαίρεσις αὐτῆς ἀπὸ τοῦ σώματος φθείρει· ἡ γὰρ ἐνέργεια τοῦ πράγματος τῇ ἰδίᾳ αὐτοῦ ἕπεται φύσει καὶ τελειοῦται αὕτη, ὡς ἡ οὐσία αὐτοῦ τελειοῦται. Οὐκ ἄρα φθείρεται ἡ ψυχὴ τῷ τοῦ σώματος χωρισμῷ.

Ἔτι, τὸ ἴδιον τῆς ψυχῆς τελειωτικόν, ἄφθαρτον, τὸ νοεῖν· τούτῳ γὰρ διαφέρει τῶν ἄλλων· τὸ δὲ νοεῖν τῶν καθόλου ἐστὶ καὶ ἀφθάρτων· τὰς δὲ τελειότητας τοῖς τελειωτοῖς ἐν λόγῳ εἶναι ἀνάγκη.

Ἔτι, ὁ ἄνθρωπος διὰ τοῦ νοῦ τοῦ εἶναι ἐπιλαμβάνεται οὐ κατά τι νῦν μόνον, ἀλλὰ καὶ ἁπλῶς, ὥστε ἀεὶ εἶναι ἐφίεται φύσει, καὶ οὐκ ἔστιν εἰκῇ τὴν φυσικὴν εἶναι ἔφεσιν.

Ἔτι, εἰ τὸ τῶν αἰσθητῶν εἰδῶν δεκτικὸν πρῶτον, ἄφθαρτον κατ' οὐσίαν, ἡ πρώτη ὕλη, πολλῷ μᾶλλον ὁ δυνάμει νοῦς, ὁ τῶν φύσει μονιμωτέρων, τῶν νοητῶν εἰδῶν δεκτικός.

Ἔτι, τὸ ποιοῦν τοῦ ποιουμένου τιμιώτερον· ἀλλ' ὁ ἐνεργείᾳ νοῦς | ποιεῖ ἐνεργείᾳ νοητά, ὡς εἴρηται, ἅπερ εἰσὶν ἄφθαρτα καθόσον νοητά· f. 58
πολλῷ ἄρα μᾶλλον ὁ ἐνεργείᾳ νοῦς ἄφθαρτος, καὶ ἡ ἀνθρωπίνη ψυχή, ἧς φῶς αὐτός ἐστιν.

Ἔτι, πᾶν εἶδος φθείρεται ἢ τῇ ἐνεργείᾳ τοῦ ἐναντίου, ὡς ἡ θέρμη τῇ ἐπικράσει τοῦ ψυχροῦ, ἢ τῇ φθορᾷ τοῦ ἰδίου ὑποκειμένου, ὡς ἡ ὁρατικὴ δύναμις τῇ φθορᾷ τοῦ ὀφθαλμοῦ, ἢ ἐπιλειπούσης τῆς αἰτίας αὐτοῦ, ὥσπερ τὸ τοῦ ἀέρος φῶς, ἐπιλείποντος τοῦ ἡλιακοῦ φωτός. Τούτων δὲ οὐδὲν τῇ ἀνθρωπίνῃ ψυχῇ προσήκει· οὐσίᾳ γὰρ οὔσῃ οὐδέν ἐστιν ἐναντίον. Δεκτικὴ μὲν οὖν ἐστι τῶν ἐναντίων εἰδῶν καὶ λόγων ὡς γνωστική.

---

5 Le second εἰσὶ est une répétition inutile



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλ' οὐδὲ ἤρτηται τὸ εἶναι αὐτῇ τοῦ ἰδίου ὑποκειμένου, ἀΐδιόν τε ἔχει μόνην αἰτίαν, ὡς μετὰ ταῦτα δειχθήσεται.

Τούτῳ δὲ καὶ ἡ ἀπόφασις τῆς καθολικῆς πίστεως συμφωνεῖ· ἐν γὰρ τῷ Ἐκκλησιαστῇ, μετὰ τὸ εἰρῆσθαι πολλὰ ἐκ προσώπου τῶν κακῶς φρονούντων περὶ ψυχῆς, ὥσπερ ἀφοριζόμενος ἐν τῷ τέλει προστίθησιν· „Ἕως ὁ χοῦς εἰς τὴν γῆν ἐπιστρέψει, ὅθεν ἦν, καὶ ἐπανέλθοι τὸ πνεῖν πρὸς τὸν δόντα αὐτό". Καὶ ἄπειροι χρήσεις ἐν τῇ Γραφῇ, αἳ τὴν ἀθανασίαν τῆς ἀνθρωπίνης ψυχῆς διαμαρτύρονται.

## LXXX. — Ἐκ τοῦ ἐναντίου, ὅτι ἡ ἀνθρωπίνη ψυχὴ φθείρεται.

Κατὰ τοὺς ὑποτιθεμένους τὴν τοῦ κόσμου ἀϊδιότητα καὶ τὴν κίνησιν ἀΐδιον καὶ τὴν γένεσιν ἑπομένως, ἄπειροι ἄνθρωποι τεθνήκασι πρὸ ἡμῶν, καὶ εἰ μένουσιν ἐν τῷ αὐτῶν πλήθει ἄφθαρτοι οὖσαι αὐτῶν αἱ ψυχαί, ἐνεργείᾳ νοῦ εἰσιν ἄπειροι αἱ τῶν προτεθνηκότων ψυχαί· ἀλλὰ τὸ ἐνεργείᾳ ἄπειρον οὐκ ἔστιν ἐν τῇ φύσει.

Ἔτι, εἰ μὴ φθείροιτο φθειρομένου τοῦ σώματος, συμβεβηκότως ἑνοῦται τῷ σώματι· τὸ γὰρ ἐπιὸν καὶ ἀποχωροῦν καὶ μὴ φθεῖρον συμβεβηκότως ἔπεισι, καὶ τοῦτο λόγῳ τοῦ συμβεβηκότος. Ἔσται τοίνυν ὁ ἄνθρωπος κατὰ συμβεβηκὸς ὄν, καὶ περαιτέρω, οὐδὲν ἔσται εἶδος τὸ ἀνθρώπινον· ἓν γὰρ εἶδος ἐκ τῶν κατὰ συμβεβηκὸς ἡνωμένων οὐ γίνεται· ὁ γὰρ λευκὸς ἄνθρωπος οὐκ ἔστι τι εἶδος.

## LXXXI. — Λύσεις τῶν εἰς τοὐναντίον λόγων.

Κατὰ μὲν Πλατωνικούς, τοῦτο ῥᾴδιον λύεσθαι τὸ ἀπὸ τῆς ἀϊδιότητος ἐπιχείρημα· τὰς αὐτὰς γὰρ ἔφασαν ψυχὰς διαφόροις ἑνοῦσθαι σώμασι κατά τινα ὡρισμένον χρόνον, ἵνα μὴ τὴν ἀπειρίαν τῶν ψυχῶν καταδέξαιντο. Ἄλλοι ἄλλας εὗρον ἀποφυγάς. Ἄλλοι φυλαττόμενοι πάντα τὰ
f. 58v τῶν ἄλλων, οὐκ ἄτοπον εἶπον εἶναι | τὰς χωριστὰς ψυχὰς ἐνεργείᾳ εἶναι ἀπείρους· τὸ γὰρ ἐνεργείᾳ ἄπειρον εἶναι ἐν αὐτοῖς πρὸς ἄλληλα τάξιν μὴ ἔχουσι κατὰ συμβεβηκός ἐστιν ἄπειρον εἶναι, ὅπερ τιθέναι οὐδὲν νομίζουσιν ἄτοπον, καὶ ἔστιν αὕτη θέσις Ἀβινσένου καὶ Ἀλγαζέλου· τί δὲ τούτων Ἀριστοτέλης ἐδόξασεν, οὐχ εὕρηται διαρρήδην, εἰ καὶ διαρρήδην τὴν τοῦ κόσμου ἀϊδιότητα τίθησιν. Ἀλλὰ τοῖς διδασκάλοις τῆς ἀληθινῆς πίστεως οὐδεμία δυσχέρεια συμβαίνει περὶ τοῦτο, μὴ ὑποτιθεμένοις τὴν τοῦ κόσμου ἀϊδιότητα. Ἀλλ' οὐδ' ἀναγκαῖον, εἰ τοῦ σώματος ἀναιρεθέντος ἡ ψυχὴ μένοι, συμβεβηκότως ἡνῶσθαι τούτῳ. Ἐν γὰρ τῇ τοῦ συμβεβηκότος ὑπογραφῇ, τὸ χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, τοῦ ἐξ ὕλης συγκειμένου λέγει καὶ εἴδους. Εἰ δ' ἐπὶ τὰς ἀρχὰς τοῦ συνθέτου ὑποκειμένου

6 Eccl. 12, 7

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀνάγοιτο, οὐκ ἀληθές· συμβαίνει γὰρ τὴν πρώτην ὕλην ἀγέννητον εἶναι καὶ ἄφθαρτον· ὅθεν, ἀπιόντος τοῦ εἴδους, μένει ἐν τῇ ἑαυτῆς οὐσίᾳ, καίτοι τὸ εἶδος οὐ συμβεβηκότως ταύτῃ ἥνωτο, ἀλλ' οὐσιωδῶς· καθ' ἓν γὰρ εἶναι ἥνωτο. Ὁμοίως καὶ ἡ ψυχὴ ἑνοῦται τῷ σώματι καθ' ἓν εἶναι· ὅθεν, εἰ καὶ μένει μετὰ τὸ σῶμα οὐσιωδῶς, ἀλλ' οὐ κατὰ συμβεβηκὸς ἥνωτο τούτῳ. Τὸ δὲ τὴν μὲν πρώτην ὕλην μὴ μένειν ἐνεργείᾳ μετὰ τὸ εἶδος, εἰ μὴ κατ' ἐνέργειαν εἴδους ἑτέρου, τὴν δὲ ψυχὴν ἐν τῇ ἑαυτῆς μένειν ἐνεργείᾳ, ἐκ τούτου συμβαίνει, ὅτι ἡ μὲν ἀνθρωπίνη ψυχὴ εἶδός ἐστι καὶ ἐνέργεια, ἡ δὲ πρώτη ὕλη, δυνάμει ὄν. Εἰ δὲ καὶ τὸ νοεῖν ἡμῶν ἐν τῇ παρούσῃ ζωῇ, φθειρομένου τοῦ σώματος, φθείρεται, ὅμως διαδέχεται τρόπος ἕτερος τοῦ νοεῖν ὑψηλότερος, ὁ χωρὶς φαντασμάτων, ὃν τρόπον αἱ χωρισταὶ οὐσίαι νοοῦσι καθ' αὑτάς. Τὸ δὲ ἀναμιμνήσκεσθαι οὐ μένει, ὡς δι' ὀργάνου σωματικοῦ γινόμενον· ἡ δὲ νόησις τῶν ἐντεῦθεν ἐγνωσμένων μένει, ἣ λέγοιτ' ἂν ὁμωνύμως ἀνάμνησις. Αἱ δὲ ἄλλαι τῆς ψυχῆς ἐνέργειαι, οἷον τὸ ἀγαπᾶν καὶ χαίρειν καὶ τὰ τοιαῦτα, ὡς μὲν πάθη καὶ τῆς αἰσθητικῆς ἐφέσεως ἐνέργεια οὐ μένουσιν ἐν τῇ ψυχῇ χωρισθείσῃ, ὡς δὲ ἁπλῇ ἐνέργεια τῆς θελήσεως καὶ χωρὶς πάθους, μένουσιν. Ὡς γὰρ ὁ νοῦς, καὶ ἡ θέλησις ἄνευ ὀργάνου ἐνεργεῖ. Ἐξ οὖν τῶν τοιούτων ἐπιχειρήσεων οὐ δυνατὸν συμπεραίνειν θνητὴν τὴν ἀνθρωπίνην εἶναι ψυχήν.

LXXXII. — Ὅτι αἱ ψυχαὶ τῶν ἀλόγων ζῴων, οὐκ ἀθάνατοι.

Οὐδεμία γὰρ ἐνέργεια τῆς ψυχῆς τῆς τοιαύτης ἄνευ σώματος δύναται εἶναι, καὶ φθαρέντος οὖν τοῦ σώματος φθείρεται.

Ἔτι, εἰ μένοι ἡ τοιαύτη ψυχή, ἔσται εἶδος χωριστὸν τῆς ὕλης· οὐκοῦν ἐνεργείᾳ νοητόν· οὐκοῦν | καὶ νοῦς, καὶ οὕτως ἔσται νοερά· ἀλλ' ἀδύνατον. f. 59

Ἔτι, ἐν τοῖς ἀλόγοις οὐχ εὑρίσκεται ἔφεσις τοῦ ἀεὶ εἶναι, εἰ μὴ ὅσον ἐν τῇ τοῦ εἴδους διαμένειν διαδοχῇ, καθόσον ἔφεσίς τις ἐστὶν ἐν αὐτοῖς τῆς γενέσεως, ᾗ τὸ εἶδος διαμένει, ἥτις ἔφεσις καὶ ἐν φυτοῖς καὶ ἀψύχοις εὑρίσκεται φυσικῶς. Ἡ δὲ ἔφεσις τοῦ ἀεὶ εἶναι καταλήψει τινὶ ἕπεται· ἡ δὲ αἰσθητικὴ κατάληψις, τοῦ νῦν οὖσα καὶ τοῦ ἐνταῦθα κινοῦντος, οὐχ οἵα τε καταλαβεῖν τὸ ἀεὶ εἶναι. Οὐδ' ἄρα ἐφίεται· οὐδ' ἄρα δεκτική ἐστι τοῦ ἀεὶ εἶναι ἡ ἄλογος ψυχή.

Ἔτι, αἱ ἡδοναὶ τελειοῦσι τὰς ἐνεργείας· αἱ δὲ ἡδοναὶ τῶν ἀλόγων πᾶσαι περὶ τῶν συντηρούντων τὸ σῶμα, ὥστε καὶ πᾶσα τῶν ἀλόγων ψυχῶν ἐνέργεια πρὸς τὴν συντήρησιν τοῦ σώματος εἶναι ὡς τέλους.

Τούτῳ καὶ ἡ Γραφὴ συμφωνεῖ· ἐν γὰρ τῇ Γενέσει περὶ τῶν ἀλόγων λέγεται ζῴων ὅτι „ἡ ψυχὴ αὐτοῦ ἐν τῷ αἵματι αὐτοῦ ἐστιν". Ταύτης τῆς δόξης, καὶ Ἀριστοτέλης ἐστίν. Πλάτων μόνος ὑπέθετο τὰς τῶν ἀλόγων

---

37 Levit. 17, 11    38 *μόνος* corrigé de *μόνον* A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ψυχὰς ἀθανάτους διὰ τὸ οἴεσθαι πᾶσαν ψυχὴν κινητικὴν ἀθάνατον εἶναι, κινητικὴν δὲ εἶναι καὶ τοῦ ἀλόγου τὴν ψυχήν· τὴν δὲ κινητικὴν εἶναι ἀθάνατον, ὡς ἑαυτὴν κινοῦσαν. Ἀλλὰ δέδεικται τῆς ἀλόγου ψυχῆς ἡ ἐνέργεια τὸ αἰσθάνεσθαι, μὴ δυναμένη ἄνευ σώματος εἶναι, καὶ ἡ ἔφεσις αὐτῆς μετά τινος μεταβολῆς τοῦ σώματος γίνεσθαι· ὅθεν ἕπεται συμφέρεσθαι τῷ σώματι πᾶσαν ἐνέργειαν τῆς τοιαύτης ψυχῆς, καὶ αὐτὴν ἀκολούθως.

## LXXXIII. — Ὅτι ἡ ἀνθρωπίνη ψυχὴ μετὰ τοῦ σώματος ἤρξατο εἶναι.

Ἡ γὰρ ψυχὴ ἑνοῦται τῷ σώματι ὡς ἐντελέχεια καὶ εἶδος· ἡ δὲ ἐντελέχεια, εἰ καὶ φύσει προτέρα ἐστὶ τῆς δυνάμεως, ὅμως ἐν ἑνὶ καὶ τῷ αὐτῷ χρόνῳ ὑστέρα ἐστί· κινεῖται γάρ τι εἰς ἐντελέχειαν ἐκ δυνάμεως. Πρῶτον οὖν σπέρμα, ὃ δυνάμει ζῶν [ἐστι]· εἶτα ψυχή, ἥ ἐστι ζωῆς ἐντελέχεια.

Ἔτι, εἰ αἱ ψυχαὶ ἄνευ σωμάτων ἐκτίσθησαν, πῶς τοῖς σώμασιν ἥνωνται; Εἰ μὲν γὰρ βίᾳ, καὶ πᾶν βίαιον παρὰ φύσιν ἐστίν, παρὰ φύσιν τί ἐστιν ἡ ἕνωσις αὐτῶν καὶ ὁ ἐκ τῆς ἑνώσεως ταύτης ἄνθρωπος, ὃ ψεῦδος. Εἰ δὲ φύσει, καὶ φύσει ἐφίενται εὐθὺς κτιζόμεναι σώμασιν ἑνοῦσθαι· ἡ δὲ φυσικὴ ἔφεσις αὐτίκα πρόεισιν εἰς ἐνέργειαν, εἰ μή τι κωλύοι, ὡς ἐπὶ τῶν βαρέων καὶ κούφων· ἡ γὰρ φύσις καθ' ἕνα τρόπον ἐνεργεῖ. Ἀλλ' εἴ τι ἐκώλυεν, βίαν ἂν ἐπέφερεν· βίᾳ δὲ διῃρῆσθαι ἐπὶ χρόνον τινὰ τὰς ψυχὰς τῶν σωμάτων, ἄτοπον, πρῶτον μέν, ὅτι ἐν τῇ οὐσίᾳ ἐκείνῃ οὐ δύναταί τι f. 59v | βίαιον εἶναι· τοῦτο δέ, ὅτι τὸ βίαιον καὶ παρὰ φύσιν συμβεβηκὸς ὂν οὐ δύναται προτέρον εἶναι τοῦ κατὰ φύσιν καὶ τοῦ παντὶ τῷ εἴδει ἑπομένου.

Τούτου τὸ ἐναντίον πολλοὶ ἐδόξασαν· οἵ τε γὰρ Πλατωνικοὶ ἀϊδίους ἔθεντο τὰς ψυχάς, καὶ νῦν μὲν ἑνοῦσθαι τοῖς σώμασι, νῦν δὲ ἀπολύεσθαι τῶν σωμάτων, κατά τινας παρατετηρημένας καὶ ὡρισμένας ἐτῶν περιφοράς. Ἄλλοι τὴν μέσην ὡσανεὶ ὁδὸν εἵλοντο, ἀϊδίους μὲν τὰς ψυχὰς οὐ τιθέντες, ἀλλὰ ἐν τῷ ἀοράτῳ κόσμῳ δημιουργηθείσας, ἢ καὶ πρὸ αὐτοῦ, ἐκ νέου δὲ συνδεῖσθαι τοῖς σώμασιν, ὧν πρῶτος Ὠριγένης ἦν, εἶτα Μανιχαῖοί τε ἠκολούθησαν καὶ πολλοὶ τῶν αἱρετικῶν. Ἔλεγε δὲ Ὠριγένης ἐξ ἀρχῆς μὲν ἐκτίσθαι τὰς ἀνθρωπίνας ψυχάς, θείᾳ δὲ προνοίᾳ τοῖς σώμασιν ὕστερον ἑνωθῆναι ἐπὶ δίκῃ· πρὸ γὰρ τῶν σωμάτων αὐτὰς ἁμαρτεῖν καὶ κατὰ τὴν τῆς ἁμαρτίας ποσότητα, τιμιωτέροις ἢ ἀτιμοτέροις σώμασιν ὥσπερ τισὶν εἱρκταῖς ταύτας κατακλεισθῆναι.

Λόγοις δὲ οἱ τιθέντες τὴν τῶν ψυχῶν ἀϊδιότητα τοιοῖσδε ἐκινοῦντο· τὸ μὴ παυόμενόν ποτε τοῦ εἶναι ἔχει δύναμιν τοῦ ἀεὶ εἶναι· τὸ δὲ δύναμιν ἔχον τοῦ ἀεὶ εἶναι οὐδέποτέ ἐστιν ἀληθὲς λέγειν μὴ εἶναι αὐτό· περὶ δὲ τοῦ ἠργμένου ἀληθὲς λέγειν ποτὲ μὴ εἶναι αὐτό· ὃ τοίνυν οὐδέποτε παύεται τοῦ εἶναι, οὐδέποτε ἤρξατο εἶναι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, ἡ τῶν νοητῶν ἀλήθεια, ὥσπερ ἐστὶν ἄφθαρτος, οὕτω καὶ ἀΐδιος, ὅσον ἐξ ἑαυτῆς· ἔστι γὰρ ἀναγκαία· πᾶν δὲ τὸ ἀναγκαῖον, ἀΐδιον· ὃ γὰρ ἀναγκαῖον εἶναι, ἀδύνατον μὴ εἶναι· ἐκ δὲ τῆς ἀφθαρσίας τῆς ἀληθείας τῶν νοητῶν δείκνυται κατὰ τὸ εἶναι ἄφθαρτος ἡ ψυχή. Ὡσαύτως οὖν καὶ ἐκ τῆς ἀϊδιότητος αὐτῆς δύναται καὶ ἡ ἀϊδιότης δείκνυσθαι τῆς ψυχῆς.

Ἔτι, εἰ ἐκ νέου τοσαῦται ψυχαὶ ἄρχονται τοῦ εἶναι, ὅσοι γεννῶνται ἄνθρωποι, καθ' ἡμέραν πλεῖστα τῶν ἀρχικῶν μερῶν προστίθεται τῷ παντί, καὶ πλεῖστα ἐλλείπουσιν· αἱ δὲ νοεραὶ οὐσίαι, ἐν αἷς αἱ ψυχαί, ἀρχικὰ μέρη τοῦ παντός· οὕτως οὖν ἀτελὲς ἔσται τὸ πᾶν, ὅπερ οὐχ οἷόν τε.

Ἔτι, εἰ καθ' ἡμέραν ὁ Θεὸς νέας ἐποίει ψυχάς, οὐκ ἂν ἐλέγετο, ὅτι ἐν τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων ὧν ἤρξατο ποιεῖν.

## LXXXIV. — Λύσεις.

Ἡ μὲν οὖν Ὠριγένους θέσις, ἀδύνατος· ἡ γὰρ τιμωρία ἐναντία ἐστὶ τῷ τῆς φύσεως ἀγαθῷ, καὶ κατὰ τοῦτο λέγεται κακόν. | Ἀλλ' ἀδύνατον f. 60 τὴν ἕνωσιν τῆς ψυχῆς καὶ τοῦ σώματος εἶναι κακόν. Σκοπεῖ γὰρ ἡ φύσις ὡς τέλος αὐτήν, καὶ εἰς ταύτην ἡ γένεσις ἵσταται, καὶ ἔτι ἕψεται τὸ τὸν ἄνθρωπον εἶναι μὴ εἶναι ἀγαθὸν κατὰ φύσιν, οὗ τοὐναντίον ἀληθές, ὡς ἐν τῇ Γενέσει λέγεται ἰδεῖν τὸν Θεόν, ὅτι ἦσαν πάντα καλὰ λίαν ὅσα πεποίηκεν. Ἢ ἀγαθὸν μὲν ῥηθήσεται τὸ εἶναι τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος, κατὰ συμβεβηκὸς μέντοι· ἐκ τοῦ κακοῦ γὰρ οὐ πρόεισιν ἀγαθόν, εἰ μὴ κατὰ συμβεβηκός, καὶ ἀπὸ τύχης ἔσται ὁ ἄνθρωπος γεγονώς, καίτοι, ὡς ἐν Σοφίᾳ λέγεται τοῦ Θεοῦ, μὴ μόνον τὴν ἀνθρωπίνην οὐσίαν, ἀλλὰ καὶ πάντα ἐν ἀριθμῷ καὶ ζυγῷ καὶ μέτρῳ ἐνστησαμένου.

Ἀλλὰ καὶ ἅ φασιν οἱ τιθέντες τὴν ἀϊδιότητα τῶν ψυχῶν ῥᾴδιον λύειν· συγχωρητέον γὰρ τὸ τὴν ψυχὴν τοῦ ἀεὶ εἶναι δύναμιν ἔχειν· ἀλλ' ἡ δύναμις καὶ τὸ δυνάμει τοῦ πράγματος οὐκ ἐπὶ τὸ γεγονὸς ἑαυτὴν ἐκτείνει, ἀλλ' ἐπὶ τὸ ὂν ἢ ἐσόμενον· ὅθεν ἐν τοῖς παρῳχημένοις τὸ δυνάμει τόπον οὐκ ἔχει. Ὅθεν ἐκ τοῦ τὴν ψυχὴν τοῦ ἀεὶ δυνάμει εἶναι δύναμιν ἔχειν οὐ συμπεραίνεται ὅτι ἀεὶ ἦν, ἀλλ' ὅτι μόνον ἀεὶ ἔσται. Ἡ δὲ τῆς νοουμένης ἀληθείας ἀϊδιότης διχῶς δύναται νοεῖσθαι· ἕνα μὲν τρόπον, ὅσον πρὸς τὸ νοούμενον· ἕτερον δέ, ὅσον πρὸς τὸ ὧν νοεῖται. Καὶ εἰ μὲν ἡ νοουμένη ἀλήθεια εἴη ἀΐδιος, εἴη ὅσον πρὸς τὸ νοούμενον, ἕπεται ἡ ἀϊδιότης τοῦ νοουμένου πράγματος, οὐ μέντοι τοῦ νοοῦντος. Εἰ δὲ ἡ νοουμένη ἀλήθεια ἀΐδιος εἴη ὅσον πρὸς τὸ ὧν νοεῖται, ἕψεται τὴν νοοῦσαν ψυχὴν ἀΐδιον εἶναι. Ἀλλ' οὕτως ἡ νοουμένη ἀλήθεια οὐκ ἔστιν ἀΐδιος, ἀλλὰ τὸν πρότερον τρόπον· φανερὸν γάρ, ὅτι τῶν νοητῶν εἰδῶν

19 *ἰδεῖν* en marge A 24 Sap. 11, 21

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡ ἀλήθεια, οἷς ἡ ἡμετέρα νοεῖ ψυχή, ἐκ νέου ἡμῖν ἔπεισιν ἐκ τῶν φαντασμάτων διὰ τοῦ ἐνεργείᾳ νοῦ. Ὅθεν οὐ δυνατὸν συμπεραίνεσθαι τὸ τὴν ψυχὴν εἶναι ἀΐδιον, ἀλλ' ὡς αἱ νοούμεναι ἀλήθειαι ἐν ἀϊδίῳ τινὶ ἵδρυνται. Ἵδρυνται γὰρ ἐν τῇ πρώτῃ ἀληθείᾳ, ὡς αἰτίᾳ καὶ πάσης ἀληθείας καθόλου περιεκτικῇ. Πρὸς τοῦτο δὲ τὸ ἀΐδιον ἡ ψυχὴ παραβάλλεται οὐχ ὡς τὸ ὑποκείμενον πρὸς τὸ εἶδος, ἀλλ' ὥσπερ τὸ πρᾶγμα πρὸς τὸ ἴδιον τέλος· τὸ γὰρ ἀληθὲς ἀγαθόν ἐστι τοῦ νοῦ καὶ τέλος αὐτοῦ· ἐκ δὲ τοῦ τέλους περὶ τῆς τοῦ πράγματος διαμονῆς ἐπιχείρημα λαβεῖν δυνατόν, ὥσπερ καὶ περὶ τῆς ἀρχῆς τοῦ πράγματος ἐκ τῆς ποιητικῆς αἰτίας ἐπιχειρεῖν f. 60v | δυνησόμεθα· ὃ γὰρ πρὸς ἀΐδιον τέλος ἐστὶ τεταγμένον ἀϊδίου διαμονῆς δεκτικὸν εἶναι ἀνάγκη. Ὅθεν ἐκ τῆς ἀϊδιότητος τῆς νοητῆς ἀληθείας ἡ τῆς ψυχῆς ἀθανασία δείκνυσθαι δύναται, οὐ μέντοι ἡ ἀϊδιότης αὐτῆς. Ἀλλ' οὐδ' ἐκ τῆς ἀϊδιότητος τοῦ ποιοῦντος δείκνυται, ὡς ἐλέχθη, ὅτε περὶ τῆς τῶν κτισμάτων ἀϊδιότητος ἐζητεῖτο.

Ἀλλὰ μὴν καὶ ἡ τελειότης τοῦ παντὸς ὅσον πρὸς τὰ εἴδη ζητεῖται, οὐ πρὸς τὰ ἄτομα, ἐπεὶ συνεχῶς τῷ παντὶ προϋφεστώτων τῶν εἰδῶν, πλεῖστα προστίθεται ἄτομα· αἱ δὲ ἀνθρώπιναι ψυχαὶ οὐ κατ' εἶδος, ἀλλ' ἀτομικῶς διακρίνονται· ὅθεν οὐ μάχεται τῇ τελειότητι τοῦ παντός, εἰ ἐκ νέου καθ' ἡμέραν ἀνίσχουσιν αἱ ψυχαί. Ὁμοίως δὲ καὶ ἡ συντέλεια τῶν ἔργων καὶ ἡ κατάπαυσις κατὰ τὰ εἴδη νοεῖται, καὶ οὐ κατὰ τὰ ἄτομα. Ὅθεν ἡ γένεσις τῶν ἀνθρώπων καὶ τῶν ψυχῶν, ἅ εἰσιν ἑνὸς εἴδους ἐν ἀτομικῇ διακρίσει, οὐκ ἐναντιοῦται τῇ ῥηθείσῃ καταπαύσει, οὐδὲ εἰ νέας ὁ Θεὸς κτίζοι ψυχάς. Καὶ ἡ ἀλήθεια μὲν οὖν τῆς Γραφῆς ἑαυτῇ καὶ δι' ἄλλων συμφωνεῖ, ἀλλ' ἀρκεῖ τὸ ἐν ψαλμοῖς· „Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν", δηλαδὴ τὰς ψυχάς, ὅτι ἰδίᾳ ἑκάστῳ ψυχὴν ἰδίαν ἐποίησεν, ἀλλ' οὐχ ὁμοῦ πάσας.

## LXXXV. — Ὅτι οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἡ ψυχή.

Ἡ γὰρ θεία οὐσία ἀΐδιος ἐδείχθη· ἡ δὲ ἀνθρωπίνη ψυχὴ ἠργμένη καὶ οὐ πρὸ τῶν σωμάτων γεγενημένη.

Ἔτι, ὁ Θεὸς οὐδενός ἐστιν εἶδος· ἡ δὲ ψυχὴ εἶδος ἐδείχθη τοῦ σώματος.

Ἔτι, τὸ ἐξ οὗ τι γίνεται ἔστι πως ἐν δυνάμει πρὸς τὸ γινόμενον ἐξ αὐτοῦ· ἡ δὲ τοῦ Θεοῦ οὐσία ἐνέργεια ἐστὶν εἰλικρινής.

Ἔτι, τὸ ἐξ οὗ τι γίνεται ἀλλοιοῦται τρόπον τινά· ὁ Θεὸς δὲ πάσῃ κινήσει ἀκίνητος.

Ἔτι, ἡ θεία οὐσία παντὸς ἀμερής, καὶ οὐ δυνατόν τι αὐτῆς εἶναι

---

**24 Ps. 32, 14** **25** *κατὰ μόνας* **deux fois répété dans A par distraction**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν ψυχήν, ἀλλ' οὐδὲ ὅλην τὴν θείαν οὐσίαν εἶναι δυνατὸν τὴν ψυχήν· μία γάρ ἐστιν ἡ θεία οὐσία, καὶ ἦν ἂν καὶ ἡ ψυχὴ μία πάντων.

Ἔτι, ὁ Θεὸς ἁπλούστατος καὶ ἀδιάφορος· ἐν δὲ τῇ ψυχῇ ποικιλία κατ' ἐπιστήμην καὶ ἀρετήν. Καὶ ὁ μὲν Θεός, ἐνέργεια εἰλικρινής, ἐν δὲ τῇ ψυχῇ δύναμις καὶ ἐνέργεια κατὰ τὸν νοῦν.

Ἀλλ' οἱ παλαιοὶ ἑκάστην οὐσίαν χωριστὴν Θεὸν εἶναι ἔλεγον, οἷς καὶ Μανιχαῖοι ἠκολούθησαν, προσεπινοήσαντες τὸ ἐν τῇ Γενέσει, ὅτι ἐνέπνευσεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. Τοῦτο δὲ ἀτελῆ τινα μᾶλλον ὁμοιότητα δείκνυσιν ἢ ὁμοιότητα, ὡς τὸ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν αὐτοῦ γεγενῆσθαι λέγει· | ἔμπνευσιν γάρ τινα ζωῆς εἰς τὸν ἄνθρωπον f. 61 παρὰ Θεοῦ δείκνυσι καθ' ὁμοιότητα ἀλλ' οὐ καθ' ἑνότητα οὐσίας· διὸ καὶ αὐτὸ πρόσωπον ἐμπνευσθῆναι λέγεται, ὅτι ἐν τούτῳ τῷ μέρει τοῦ σώματος τὰ πλείω τῶν αἰσθήσεων ὄργανα, κἀνταῦθα καθαρώτερον δείκνυται ἡ ζωή. Πνεῦμα οὖν ζωῆς δέδωκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, οὐκ ἐκ τῆς οὐσίας ἀπομερίζων αὐτοῦ, καὶ ὁ σωματικῶς γὰρ εἰς πρόσωπον ἑτέρου ἐμπνέων, ὅθεν καὶ ἡ μεταφορὰ εἰλῆφθαι δοκεῖ, ἀέρα εἰς τὸ πρόσωπον τούτου ὠθεῖ, οὐ μέρος τι τῆς οὐσίας αὐτοῦ.

## LXXXVI. — Ὅτι οὐ παράγεται μετὰ τοῦ σπέρματος.

Ἀλλὰ μὴν οὐδὲ τῷ σπέρματι συμπαράγεται, ὥσπερ σπειρομένη διὰ τῆς συναφείας· ὧν γὰρ ἀρχῶν αἱ ἐνέργειαι ἄνευ σώματος οὐ δύνανται εἶναι, οὐδὲ ἡ ἀρχὴ αὐτῶν ἄνευ σώματος δύναται εἶναι. Οὕτω γὰρ ἔχει τοῦ εἶναι τὸ πρᾶγμα ὥσπερ τοῦ ἐνεργεῖν, ὡς τοὐναντίον ὧν αἱ ἐνέργειαι ἄνευ σώματος, καὶ ἡ γένεσις αὐτῶν οὐκ ἔστι διὰ γενέσεως σώματος· ἡ γὰρ τῆς θρεπτικῆς καὶ αἰσθητικῆς ψυχῆς ἐνέργεια οὐκ ἄνευ σώματός ἐστιν· ἡ δὲ τῆς νοερᾶς οὐ κέχρηται ὀργάνῳ σωματικῷ· ὥστε δῆλον καὶ τὸ συμπέρασμα.

Ἔτι, τὸ τὴν ἀνθρωπίνην ψυχὴν διὰ τοῦ σπέρματος ἄρξασθαι εἶναι διχῶς ἂν ἦν, ἢ ὡς ἐν σπέρματι οὖσαν ἐνεργείᾳ, ὥσπερ κατὰ συμβεβηκὸς ἀπὸ τῆς ψυχῆς τοῦ γεννῶντος διαιρουμένην, ἢ ὡς δυνάμεως τινὸς οὔσης ἐν τῷ σπέρματι, παρακτικῆς τῆς νοερᾶς ψυχῆς. Τὸ μὲν οὖν πρῶτον ἀδύνατον, ὅτι τελειοτάτη ἐστὶν ἡ ψυχὴ ἐνεργείᾳ οὖσα, καὶ δεῖται ἀναλόγου τελειώτου καὶ ὑποκειμένου ταῖς ἐνεργείαις, ὀργάνοις διαφόροις πεποικιλμένου, τὸ δὲ σπέρμα οὐκ ἔστι τοιοῦτον. Καὶ τὸ δεύτερον ὁμοίως ἀδύνατον, ὅτι ἡ ἐν τῷ σπέρματι ποιητικὴ δύναμις τῷ μεταβάλλειν τὸ σπέρμα πρὸς τὴν τοῦ ζῴου γένεσιν ἐνεργεῖ, τὸ δὲ εἶδος ὃ εἶναι ἄρχεται διὰ τὴν

---

7 Gen. 2, 7 9 *ὡς*: peut-être *καὶ* A 13 *καθαρώτερον*: peut-être *καθαρωτέρα* A 30 *ἢ* deux fois répété

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς ὕλης μεταβολὴν ἠρτημένον ἔχει τὸ εἶναι τῆς ὕλης· ὅπερ ἐδείχθη μὴ ἁρμόζειν τῇ ψυχῇ.

Ἔτι, γελοῖόν ἐστιν οὐσίαν τινὰ νοερὰν λέγειν ἢ διὰ σώματος διαίρεσιν διαιρεῖσθαι, ἢ ὑπό τινος σωματικῆς δυνάμεως παράγεσθαι· ἡ δὲ ἀνθρωπίνη ψυχὴ οὐσία τίς ἐστι νοερά.

Ἔτι, εἰ τινὸς γένεσις αἰτία τοῦ τι γίνεσθαι, καὶ ἡ φθορὰ αὐτοῦ αἰτία τοῦ τι ὂν παύσασθαι· ἡ δὲ τοῦ σώματος φθορὰ οὐκ ἔστιν αἰτία τοῦ τὴν
f. 61 v ψυχὴν παύσασθαι· ἀθάνατος γάρ· οὐδ' ἄρα ἡ γένεσις τοῦ σώματος, | αἰτία τοῦ τὴν ψυχὴν ἄρξασθαι εἶναι, ἀλλ' ἡ τοῦ σπέρματος ἐξαγωγὴ τῆς τοῦ σπέρματος γενέσεως ἰδία αἰτία ἐστίν. Ἐντεῦθεν ἀποσκορακίζεται καὶ ἡ Ἀπολιναρίου πλάνη καὶ τῶν ἀκολούθων, οἳ ἔφασαν ψυχὰς ἐκ ψυχῶν γίνεσθαι ὡς ἐκ σωμάτων σώματα.

## LXXXVII. — Ὅτι ὑπὸ Θεοῦ διὰ δημιουργίας εἰς τὸ εἶναι παράγεται.

Οὔτε γὰρ ἀΐδιος οὖσα, οὔτε τοῦ σώματος προϋφεστηκυῖα, ἀλλ' ἐκ νέου ἀρχομένη τοῦ εἶναι, ἐπεὶ μήδ' ἐκ τοῦ σπέρματος γίνεται οὐδ' ὁπωσοῦν, διὰ δημιουργίας ὑπόλοιπόν ἐστιν αὐτὴν γίνεσθαι, καὶ ἐκ μόνου Θεοῦ, ὅς μόνος ἐστὶ δημιουργός.

Ἔτι, ἡ ἀνθρωπίνη ψυχὴ παρὰ τὰ ἄλλα εἴδη ἐν τῷ ἑαυτῆς εἶναι ὑφίσταται, καὶ τοῦ ἑαυτῆς ἰδίου εἶναι τῷ σώματι κοινωνεῖ, καὶ οὔτε κατὰ συμβεβηκὸς γίνεται τοῦ συνθέτου γινομένου, οὔτε τὴν ὕλην ἔχει μέρος αὐτῆς. Οὐκ ἄρα γίνεται ἐξ ἑτέρου ὡς ἐξ ὕλης. Λείπεται τοίνυν ἐκ τοῦ μηδενὸς γίνεσθαι, καὶ οὕτως δημιουργεῖται· τὸ δὲ δημιουργεῖν, ἴδιον τοῦ Θεοῦ· ὑπ' αὐτοῦ ἄρα ἀμέσως δημιουργεῖται.

Ἔτι, τῶν τοῦ αὐτοῦ γένους ὁ αὐτός ἐστι τρόπος τῆς εἰς τὸ εἶναι παραγωγῆς· ἡ δὲ ψυχὴ ἐκ τοῦ γένους τῶν νοερῶν οὐσιῶν, αἳ τῇ ὁδῷ τῆς δημιουργίας παράγονται.

Ἔτι, ἡ ἀνθρωπίνη ψυχὴ εἰς τὸ εἶναι παράγεται ἀπολελυμένως, οὐ τυγχάνουσα ἑτέρου τινός, ὃ τοῦ εἶναι ἂν εἴη ἀρχή, ὡς ἐπὶ τῶν συνθέτων ἐξ ὕλης καὶ εἴδους, αὐτὸ δὲ τὸ εἶναι τοῦ πρώτου καὶ καθόλου ποιοῦντος ἐστὶν ἀποτέλεσμα. Οὐ δύναται τοίνυν εἰς τὸ εἶναι παράγεσθαι εἰ μὴ ὑπὸ τοῦ πρώτου καὶ καθόλου ποιοῦντος, ὅ ἐστιν ὁ Θεός.

Ἔτι, τὸ τέλος τοῦ πράγματος τῇ ἀρχῇ ἀνταποκρίνεται· τὸ δὲ τέλος καὶ ἡ ἐσχάτη τελείωσις τῆς ἀνθρωπίνης ψυχῆς, τὸ διὰ γνώσεως καὶ ἀγάπης τὴν τάξιν παρελθεῖν τῶν κτισμάτων, καὶ πρὸς τὴν πρώτην ἀρχήν, ἥ ἐστιν ὁ Θεός, ἀφικέσθαι, ὥστ' ἰδίως ἐξ αὐτοῦ καὶ τὴν ἀρχὴν ἔχει τῆς πρώτης καταβολῆς. Τούτῳ δὲ συνᾴδει καὶ ὁ τρόπος τῆς παραγωγῆς τῆς ψυχῆς τοῦ πρώτου ἀνθρώπου· ἐπὶ μὲν γὰρ τῶν ἄλλων εἶπεν ὁ Θεός·

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

„Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν“, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· περὶ δὲ τοῦ ἀνθρώπου, ὅτι ἐνεφύσησεν, καὶ τὰ ἑξῆς.

## LXXXVIII. — Λόγοι πρὸς τὸ διὰ σπέρματος αὐτὴν παράγεσθαι.

Ἀλλ' ἐπιχειροῦσί τινες εἰς τοὐναντίον. Εἰ γὰρ συνωνύμως τοῖς ἄλλοις ὁ ἄνθρωπος ζῷον ᾗ αἰσθητικόν, ἡ αἰσθητικὴ ψυχὴ τοῦ ἀνθρώπου τοῦ αὐτοῦ γένους τοῦ τῶν ἄλλων ἐστίν, ὥστε καὶ τὸν αὐτὸν τρόπον εἰς τὸ εἶναι παράγεται· ἐκεῖναι δὲ πᾶσαι διὰ τῆς ἐν τῷ | σπέρματι δυνάμεως f. 62 εἰς τὸ εἶναι προάγονται, τὸ δ' αὐτὸ κατ' οὐσίαν ἐν ἀνθρώπῳ ἥ τε νοερὰ καὶ αἰσθητικὴ ψυχή, ὡς προαποδέδεικται· ἄρα, καὶ τὸ ἑξῆς.

Ἔτι, κατὰ Ἀριστοτέλην, πρότερόν ἐστι τῷ χρόνῳ ζῷον, εἶτα ἄνθρωπος· ἀλλ' ὅταν ᾖ ζῷον καὶ μήπω ἄνθρωπος, αἰσθητικὴν ἔχει ψυχήν, ἥ ἐστιν ἐν δυνάμει τοῦ εἶναι ζῷον λογικόν· αὕτη δὲ ἡ αἰσθητικὴ ἐκ τῆς τοῦ σπέρματος δυνάμεως πρόεισιν, ὥστε καὶ ἡ λογική.

Ἔτι, ὁ Ἀπολινάριος οὕτως ἐπιχειρεῖ· ὁ ἀναπληρῶν τι ἔργον συνεργεῖ τῷ ποιοῦντι· ἀλλ' εἰ αἱ ψυχαὶ δημιουργοῦνται ὑπὸ τοῦ Θεοῦ, οὗτος τὴν γένεσιν τῶν παίδων ἀναπληροῖ, οἳ πολλάκις ἐκ μοιχείας γεννῶνται· ἀλλ' ἄτοπον τοῖς μοιχοῖς συνεργεῖν τὸν Θεόν.

Ἐπιχειρεῖται δὲ καὶ ἔν τινι λόγῳ, ἐπιγραφομένῳ εἰς τὸν Νύσσης Γρηγόριον, οὕτως· ἐκ ψυχῆς καὶ σώματος γίνεται ἕν, ἤγουν εἷς ἄνθρωπος. Εἰ μὴ γίνοιτο τοίνυν ἅμα τὸ σῶμα αὐτοῦ καὶ ἡ ψυχή, ἔσται ταὐτὸ πρότερόν τε καὶ ὕστερον αὐτοῦ, ὅπερ ἀδύνατον· ἀλλὰ τὸ σῶμα ἐν τῇ ἐκκρίσει τοῦ σπέρματος ἄρχεται γίνεσθαι· καὶ ἡ ψυχὴ ἄρα.

Ἔτι, οὐδὲν ζῇ εἰ μὴ διὰ ψυχήν· τὸ δὲ σπέρμα ἐστὶ ζῶν· ἀπό τε γὰρ ζῶντος ἐκκρίνεται καὶ ζωτικὴ φαίνεται ἐν αὐτῷ θέρμη καὶ ἐνέργεια ζωῆς, καὶ τρίτον, εἰ μὴ ζωὴν εἶχον ἐν ἑαυτοῖς τὰ σπέρματα, οὐκ ἂν ἠδύναντο θερμαίνεσθαι πρὸς τὸ ζῶν ἐξ ἀψύχου τῆς γῆς. Ἔστιν ἄρα ἐν τῷ σπέρματι ἡ ψυχή.

Ἔτι, εἰ μὴ οὕτως, ἀλλ' ἐκ νέου δημιουργεῖται καὶ ἐνιδρύεται τῷ σώματι, ἕπεται περαιτέρω τὴν ψυχὴν εἶναι διὰ τὸ σῶμα· ὃ γὰρ ἔστι δι' ἕτερον, ὕστερον ἐν ἐκείνῳ εὑρίσκεται, ὥσπερ διὰ τὸν ἄνθρωπον γεγόνασι τὰ ἱμάτια· τοῦτο δέ ἐστι ψεῦδος· μᾶλλον γὰρ ἔστι διὰ τὴν ψυχὴν τὸ σῶμα· τὸ γὰρ τέλος ἀεὶ τιμιώτερον. Ἀνάγκη τοίνυν τῇ τοῦ σπέρματος ἐκκρίσει καὶ τὴν ψυχὴν συνανίσχειν, εἰ μὴ πρὸ τοῦ σώματος ἐστίν. Καὶ ἄλλοις τοιούτοις λόγοις τῇ θέσει ταύτῃ συναγωνίζονται, οὓς ῥᾴδιον λύειν ἐστίν.

1 Gen. 1, 10

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006